Φει. Ἔγωγ' ἀποδείξω, καὶ νικήσω λέγων.
Στ. Τουτὶ σὺ νικήσεις; Φει. πολύ γε καὶ ῥᾳδίως.
Ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
Στ. Ποίοιν λόγοιν; Φει. τὸν κρείττον' ἢ τὸν ἥττονα;
Στρεψ. Ἐδιδαξάμην μέντοι σε, νὴ Δί', ὦ μέλε,
Τοῖσι δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
Μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν,
Τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.
Φει. Ἀλλ' οἴομαι μέντοι σ' ἀναπείσειν, ὥστε γε
Οὐδ' αὐτὸς ἀκροασάμενος, οὐδὲν ἀντερεῖς.
Στ. Καὶ μὴν, ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

A *Verberet?* PH. *ego ostendam & conuincam te statim.*
ST. *Tun' hoc euinces?* PH. *& quidem facillimè.*
*Elige nunc, vtrum duobus ex sermonibus*
*Velis me adhibere.* ST. *quibus sermonibus? cedò.*
PH. *Inferiorem, an superiorem?* ST. *equidem per Iouem.*
*Te, fatue homo, veris docui contradicere:*
B *Si tu hoc probaueris, quod pulchrum æquúmque sit,*
*Patrem pulsari à filiis.* PH. *at opinor, hoc*
*Ita persuasurum esse tibi: vt si tu audias,*
*Nihil quicquam possis mihi contradicere.*
ST. *Age, volo audire, quidnam dicturus sies.*

Σχόλια. Ἐδιδαξάμην.] παθητικὸν ἀντὶ ἐνεργητικοῦ. λέγονται δὲ ἐκ μεσότητος Ἀττικῶς ἀντὶ τοῦ ἐξεπαίδευσα δι' ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ δευτέρα.

ΧΟΡΟΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

ACTVS V. SCENA secunda.

CHORVS, STREPSIADES, PHIDIPPIDES.

Σὸν ἔργον ὦ πρεσβῦτα φροντίζειν, ὅπῃ
Τὸν ἄνδρα κρατήσεις,
Ὡς οὗτος, εἰ μή τῳ πέποιθεν, οὐκ ἂν ἦν
Οὕτως ἀκόλαστος.
Ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται. δῆλόν γε τὸ
Λῆμ' ἐστὶ τἀνθρώπου.
Ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι,
Ἤδη λέγειν χρὴ πρὸς χορὸν, πάντως δὲ τοῦτο δράσεις.

*Tum nunc est senex prospicere, quomodo Virum cohibere*
D *Possis: nisi enim hic ingenio fideret suo:*
*Non tam petulans sit,*
*Sed est, in quo insolescat, & fortis animi*
*Est euidens virtus.*
*Nunc ex quo primùm cœperit hæc concertatio moueri,*
E *Oportet dicere huic gregi: & hoc tibi omnino erit agendum.*

Σχ. Σὸν ἔργον] ἔκθεσις χοροῦ στροφῆς μὲν λόγον ἔχουσα. διὰ τὸ ἔχειν καὶ ἀντίστροφον τὸ οἶμαί γε τῶν νεωτέρων. ἧς οὐδὲν διενήνοχε. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ ἔκθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια ἰωνικά, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ ἥμισυ τοῦ ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον ὃ καὶ ἐπῳδὸς ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον λέγεται, ἀντὶ ἰωνικοῦ ἐπιτείνων ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. Πρὸς χορόν.] πρὸς ἐμέ. οὕτως ἔλεγον πρὸς χορὸν λέγειν. ὅταν τοῦ ὑποκειμένου διατιθεμένου τὴν ῥῆσιν ὁ χορὸς ὀρχῆται. διὸ καὶ ἐκλέγονται ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα ἢ τὰ ἀναπαιστικά. ἢ τὰ ἰαμβικά. διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν. ἐπὶ τῷ τέλει παράγραφος. καὶ διπλῆ ἔξω νενευκυῖα.

F

Biset. Φειδιππίδης τοὺς τῆς σοφιστικῆς φενακισμοὺς καλῶς μαθὼν τὸν πατέρα ὑπὸ τοῦ υἱοῦ δικαίως τυφθέντα δείκνυσι.

Στ. Καὶ μὴν ὅθεν γε τὸ πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι,
Ἐγὼ φράσω, 'πειδὴ γὰρ εἱστιώμεθ', ὥσπερ ἴστε.
Πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέλευσα
Ἆσαι Σιμωνίδου μέλος, τὸν κριὸν ὡς ἐπέχθη.

ST. *Igitur dicam, vnde primùm mutuò conuitiari*
*Nos cœperimus, nam postquam conuiuaremur domi intus,*
G *Vt scitis; ego primò lyram sumsi, gnatumq́ue iussi*
*Carmẽ Simonidis canere de ariete, quomodo sit*

Σχ. Καὶ μὴν ὅθεν γε] κορωνὶς καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λδ΄. ὧν τελευταῖος ἐξέφερον ἂν καὶ προὐχόμην σε. σὺ δὲ μὲ νῦν ἀπάγχων. μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. καὶ στίχος ὅμοιος τοῖς ἄνω. Λύραν λαβόντα.] ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευσεν ᾆσαι ᾠδήν. ᾎσαι Σιμωνίδου.] τοῦτο τὸ μέλος Σιμωνίδου καὶ ἐπινίκου. ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως. ἦν δὲ παλαιστὴς Αἰγινήτης. ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων. ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως, ἐλθὼν εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ψιλοῦ ἀπὸ τοῦ πέκω, καὶ διφθόγγου γράφεται.

Οδ'